

# Ο ΧΡΙΣΤΟΣ

*Ἐγὼ πατήρ, ἐγὼ νυμφίος, ἐγὼ οἰκία, ἐγὼ τροφεύς, ἐγὼ ῥίζα, ἐγὼ θεμέλιος. Πᾶν ὅπερ ἂν θέλῃς ἐγώ. Μηδενὸς ἐν χρείᾳ καταστῇς. Ἐγὼ δουλεύσω. Ἦλθον γὰρ διακονῆσαι, οὐ διακονηθῆναι. Ἐγὼ καὶ φίλος καὶ ξένος καὶ κεφαλὴ καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ. Πάντα ἐγώ. Μόνον οἰκείως ἔχε πρὸς ἐμέ. Ἐγὼ πένης διὰ σὲ καὶ ἀλήτης διὰ σέ, ἐπὶ σταυροῦ διὰ σέ, ἐπὶ τάφου διὰ σέ, ἄνω ὑπὲρ σοῦ ἐντυγχάνω τῷ Πατρί. Κάτω ὑπὲρ σοῦ πρεσβευτὴς παραγέγονα παρὰ τοῦ Πατρός. Πάντα μοι σὺ καὶ ἀδελφὸς καὶ συγκληρονόμος καὶ φίλος καὶ μέλος. Τί πλέον θέλεις;»*

*(ἅγ. Ἰω. Χρυσόστομος)*